A ληψιν καθ' ἣν φασιν εἶναι τὰς ἰδέας, οὐ μόνον τῶν οὐσιῶν ἔσονται εἴδη, ἀλλὰ καὶ ἄλλων πολλῶν. τὸ γὰρ νόημα ἓν, οὐ μόνον περὶ τὰς οὐσίας, ἀλλὰ καὶ κατὰ μὴ οὐσιῶν ἐστι· καὶ αἱ ἐπιστῆμαι οὐ μόνον τῆς οὐσίας ἔσονται. συμβαίνει δὲ καὶ ἄλλα μυρία τοιαῦτα. κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς δόξας τὰς περὶ αὐτῶν, εἰ ἔστι μεθεκτὰ τὰ εἴδη, τῶν οὐσιῶν ἀναγκαῖον ἰδέας εἶναι μόνον. οὐ γὰρ κατὰ συμβεβηκὸς μετέχονται, ἀλλὰ δεῖ ταύτῃ ἑ- B κάστου μετέχειν, ᾗ μὴ καθ' ὑποκειμένου λέγεται. λέγω δ' οἷον, εἴ τι αὐτοῦ διπλασίου μετέχει, τοῦτο καὶ ἀιδίου μετέχει, ἀλλὰ κατὰ συμβεβηκός. συμβέβηκε γὰρ τῷ διπλασίῳ τὸ ἀίδιον εἶναι. ὥστε ἔσται οὐσία τὰ εἴδη. ταῦτα δ' ἐνταῦθα οὐσίαν σημαίνει, κἀκεῖ· ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν; καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν, καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν· τί γὰρ μᾶλλον ἐπὶ τῶν φθαρτῶν δυά- C δων, καὶ τῶν δυάδων πολλῶν μέν, ἀιδίων δέ, τὸ δυὰς ἓν καὶ ταὐτόν, ἢ ἐπ' αὐτῆς καὶ τῆς τινός; εἰ δὲ μὴ τὸ αὐτὸ εἶδος, ὁμώνυμα ἂν εἴη, καὶ ὅμοιον ὥσπερ ἂν εἴ τις καλοίη ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον, μηδεμίαν κοινωνίαν ἐπιβλέψας αὐτῶν. εἰ δὲ τὰ μὲν ἄλλα τοὺς κοινοὺς λόγους ἐφαρμόττειν θήσομεν τοῖς εἴδεσιν, οἷον ἐπ' αὐτὸν τὸν κύκλον σχῆμα ἐπίπεδον, καὶ τὰ λοιπὰ μέρη τοῦ λόγου, τὸ δ' οὗ ἐστι προστεθή- D σεται, σκοπεῖν δεῖ μὴ κενὸν ᾖ τοῦτο παντελῶς. τίνι τε γὰρ προστεθήσεται; τῷ μέσῳ, ἢ τῷ ἐπιπέδῳ, ἢ πᾶσι; πάντα γὰρ τὰ ἐν τῇ οὐσίᾳ, ἰδέαι, οἷον τὸ ζῷον, καὶ τὸ δίπουν. ἔτι δῆλον ὅτι ἀνάγκη αὐτὸ εἶναί τι ἐπίπεδον φύσιν τινά, ἣ πᾶσιν ἐνυπάρξει τοῖς εἴδεσιν, ὡς γένος.

Κεφάλαιον ε.

Πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις, E τί ποτε συμβάλλονται τὰ εἴδη, ἢ τοῖς ἀιδίοις τῶν αἰσθητῶν, ἢ τοῖς γιγνομένοις, καὶ τοῖς φθειρομένοις. οὔτε γὰρ κινήσεώς ἐστιν, οὔτε μεταβολῆς οὐδεμιᾶς αἴτια αὐτοῖς. ἀλλὰ μὴν οὔτε πρὸς τὴν ἐπιστήμην οὐδὲν βοηθεῖ τὴν τῶν ἄλλων. οὔτε γὰρ οὐσία ἐκεῖνα τούτων (ἐν τούτοις γὰρ ἂν ἦν) οὔτ' εἰς τὸ εἶναι, μὴ ἐνυπάρχοντά γε τοῖς μετέχουσιν. οὕτω μὲν γὰρ ἴσως αἴ- F τια δόξειεν ἂν εἶναι, ὡς τὸ λευκὸν μεμιγμένον τῷ λευκῷ. ἀλλ' οὗτος μὲν ὁ λόγος λίαν εὐκίνητος, ὃν Ἀναξαγόρας μὲν πρότερος, Εὔδοξος δ' ὕστερος ἔλεγε, διαπορῶν, καὶ ἕτεροί τινες. ῥᾴδιον γὰρ πολλὰ συναγαγεῖν καὶ ἀδύνατα πρὸς τ

A secundum quam dicunt ideas esse, non solùm substantiarum, verùm etiam multorum aliorum species erunt: etenim vnus conceptus, non solùm de substantiis, sed de non substantiis etiam est. Et scientiæ non solùm substantiæ erunt: & alia id genus accidunt infinita. Secundum vero necessitatem & opiniones de eis, si species participabiles sunt, necesse est substantiarum solùm esse ideas. Non enim secun- B dum accidens participatio earum est, sed eatenus vnaquaque participare est, quatenus dicitur non de subiecto. Dico autem, vt siquid ipso duplo participat, hoc etiam æterno participat, sed secundum accidens. Accidit enim duplo æternum esse: quare species, substantia erunt. Hæc autem hîc, & ibi substantiam significant. An aliquid erit dicere esse præter hæc, ipsum quid vnum in multis? etsi eadem quidem species est idearum, & participantium, e- C rit aliquid commune. Cur enim magis de corruptibilibus dualitatibus, & pluribus quidem, sed æternis, dualitas vnum, & idem sit, quàm de hac, & aliqua? Quòd si non est eadem species, æquiuoca erit profecto, & simile, ac si quis Calliam, & lignum homines appellarit, nullam inspiciens communicationem eorum. Si autem cætera quidem, communes videlicet rationes speciebus conuenire ponemus, D veluti ad ipsum circulum figuram planam, & cæteras rationis partes, & quod ei, cuius est, apponatur, considerandum est, ne omnino vanum hoc sit. Cui nanque apponetur? medio, an plano, an cunctis? Omnia enim, quæ in substantia sunt, ideæ sunt, vt animal, & bipes. Item patet, quòd ipsum quoque necesse est quid esse, veluti planum naturam quandam, quæ omnibus speciebus vt genus inerit.

## CAPVT V.

E Potissimum vero quispiam dubitabit, quidnam species conferant, aut sempiternis sensibilium, aut illis, quæ fiunt, & corrumpuntur: nec enim motus, nec alicuius transmutationis, eis ipsis causæ sunt. At nec ad scientiam aliorum prosunt: nec enim horum illæ substantiæ sunt: in his etenim essent. Nec adesse: F quippe cùm non insint participantibus. Ita etenim fortassis causæ putabuntur esse, vt album mistum albo. Sed ista ratio facilè redargui potest, quam Anaxagoras prior, Eudoxus verò posterior dubitans & alij quidam dixerunt: facile enim est multa, & impossibilia ad hanc opinionem